# TEZAUR LITURGIC

## 1 OCTOMBRIE

ISIDORA AGHIROTITISSA

# PARACLISUL SF.CUVIOS ROMAN MELODUL

ATENA,2020


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 1 ΟΚΤΩΒΡΙΟΥ
# ΡΩΜΑΝΟΣ ΜΕΛΩΔΟΣ
# ΠΑΡΑΚΛΗΣΙΣ

**Ποίημα Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης**

*Εὐλογήσαντος τοῦ Ἱερέως, τὸ Κύριε εἰσάκουσον. Μεθ᾽ ὁ Θεὸς Κύριος καὶ τὰ ἑξῆς: Ἦχος δ´. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.*

Τῶν ὑμνολόγων τὴν τιμίαν κρηπῖδα, τῆς Ἐκκλησίας παναρμόνιον λύραν, σοφίας ἐνδιαίτημα, χαρίτων πηγὴν στέψωμεν ἐν μελῳδήμασι, Ῥωμανὸν μελογράφον· χαίροις ἀνακράζοντες ἱερώτατε πάτερ· τῶν Διακόνων κλέος θαυμαστόν, τοῦ Παρακλήτου, τὸ στόμα τὸ πάνσεπτον.

*Δόξα. Τὸ αὐτό. Καὶ νῦν.*

Οὐ σιωπήσομεν…

Καὶ ἀρχόμεθα τοῦ Κανόνος οὗ ἡ ἀκροστιχίς: *Ῥωμανὸν τὸν μελογράφον μέλπω, Ἰσιδώρας».*

*ᾨδὴ α´. Ἦχος πλ. δ´. Ὑγρὰν διοδεύσας.*

Ῥητόρων τὸν ἔξαρχον οἱ πιστοί, ἐν ῥήμασι θείοις εὐφημήσωμεν Ῥωμανόν, τὴν χάριν αἰτούμενοι τὴν θείαν, τοῦ μελῳδῆσαι αὐτοῦ τὰ ἐξαίσια.

Ὡς λύρα θεόφθογγος ἀληθῶς, καινὰ μεγαλεῖα ἐμελώδησας Ῥωμανέ, Ἁγίων τε ὕμνησας χορείας· μεθ᾽ ὧν ἀπαύστως Θεὸν καθικέτευε.

Μελίῤῥυτος ὄντως ὡς ποταμός, ψυχὰς καταρδεύεις θεοτίμητε Ῥωμανέ, καὶ Πνεύματος χάριν δροσοβόλον, τοῖς σὲ τιμῶσι προσνέμεις ἑκάστοτε.

*Θεοτοκίον.*

Ἀγγέλων ἡ δόξα καὶ χαρμονή, καὶ ᾆσμα ὑπάρχεις, τὸ θεόπλοκον Μαριάμ, διὸ τὰς πλοκὰς ἐμῶν ᾀσμάτων, τῷ Βασιλεῖ καὶ Θεῷ νῦν προσάγαγε.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Νουνεχῶς ἐκαρτέρεις ὦ Ῥωμανὲ ἔνδοξε, οἴκῳ τῷ πανσέπτῳ Κυρίου Τούτῳ δεόμενος, καὶ τὴν Παρθένον Ἁγνήν, καθικετεύων ἀπαύστως, ἧς μορφὴν τὴν Ἄχραντον, ἄμετρα ἔστεργες.

Ὀξυγράφου τῷ ὄντι ὦ Ῥωμανὲ κάλαμος, γλῶσσά σου ὑπῆρξε ἡ θεία, καὶ ἐῤῥητόρευσε, νόμον καινὸν τῆς Θεοῦ, οἰκονομίας ἀῤῥήτου, καὶ πιστῶν κατηύφρανε, πᾶσαν διάνοιαν.

Νηπιάσαντα Λόγον τὸν τοῦ παντὸς αἴτιον, θεῖε Ῥωμανὲ ἐμελῴδεις τελείοις ᾄσμασι, καὶ τὴν μητέρα Αὐτοῦ, καὶ ὑπεράμωμον Κόρην, ἐν ἀμέμπτοις ἤθεσι, κατεμεγάλυνες.

*Θεοτοκίον.*

Νόμον πάλαι προφήτης, σὲ Μαριὰμ ἔφησε, Λόγος τοῦ Πατρὸς ἀποῤῥήτως, ἐν ᾧ ἐγγέγραπται, ὃν ἐκδυσώπει ἀεί, τόμῳ ζωῆς καταγράψαι, τοὺς πιστῶς σὲ μέλποντας, μόνη Μητρόθεε.

Ἀνάκρουε, ὡς ὁ Δαυῒδ τὴν κινύραν πάτερ πατέρων, καὶ ἀνάγαγε πρὸς Θεὸν ἡμᾶς μελῳδίαις σου, τοὺς σέβοντας μνήμην σου τὴν ἁγίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ὡς μύστης Θεοῦ τοῦ Λόγου καὶ Διάκονος, σεπτὲ Ῥωμανέ, ἐδέξω θεῖον τάλαντον, μελῳδεῖν ἐν ᾄσμασι μυστηρίων θείων φανέρωσιν, καὶ μεγαλύνειν χείλεσι καινοῖς, μητέρα Θεοῦ τὴν ἀειπάρθενον.

*ᾨδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

Οὐρανὸς ὥσπερ ἔμψυχος, διηγεῖσαι δόξαν Θεοῦ τὴν ἄῤῥητον καὶ χειρῶν αὐτοῦ τὴν ποίησιν, Ῥωμανὲ ἐν ὕμνοις σου ἀνήγγειλας.

Νέκταρ θεῖον καὶ πάντερπνον, Ῥωμανὲ ἀφθόνως πιστοῖς μετέδωκας· ἐκ μελῶν τῶν πανιέρων σου, καὶ ψυχὰς ἡδύνεις τῶν ὑμνούντων σε.

Μυστολέκτης πανάριστος, τοῦ Θεοῦ τῶν ὅλων διατετέλεκας· Ῥωμανὲ καὶ ἐνδιέπρεψας, ἐν ἁγιωσύνῃ καὶ σεμνότητι.

*Θεοτοκίον.*

Ἐλευθέραν ἐποίησας τὴν βροτείαν φύσιν Θεοχαρίτωτε· παραβάσει τοῦ προπάτορος, εἰς δεσμὰ τοῦ ᾋδου περιπέσασαν.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Λάμπεις Ῥωμανέ, ὡς ἀστὴρ θεολαμπέστατος, καὶ σκεδάζεις τὴν πικρίαν τῶν παθῶν, σοῖς ἡδυτάτοις καὶ καλλίστοις μελῳδήμασιν.

Ὄρει ἀναβάς, θεωρίας μάκαρ κρείττονος, τοῦ Θεοῦ ἑώρας ὄψιν Ῥωμανέ, ὡς ὁ θεόπτης Μωϋσῆς οὗ νόμον ἔμελψας.

Γάνυται ἐν σοί, Κωνσταντίνου πόλις ἄνασσα, ἣν ἠγλάϊσας σοῖς τρόποις Ῥωμανέ, καὶ ἡ Συρία ἧς ὑπάρχεις γόνος ἔκλαμπρος.

*Θεοτοκίον.*

Ῥήσεις προφητῶν, τῷ σῷ τόκῳ ἐπληρώθησαν, Θεονύμφευτε παρθένε Μαριάμ, σπορᾶς γὰρ δίχα τὸν Δεσπότην πάντων τέτοκας.

*ᾨδὴ στ΄. Τὴν δέησιν, ἐκχεῶ.*

Ἀνέθαλες, ὥσπερ ἄνθος τίμιον, ἐξ Ἐμέσης Ῥωμανὲ ὑψηγόρε, καὶ Βηρυτόν, εὐωδίασας πάτερ, ἐν ᾗ τοῦ Λόγου ἐτέλεις Διάκονος· καὶ πόλιν ἔνδοξον κλεινέ, Κωνσταντίνου πλουσίως ηὐλόγησας.

Φερώνυμος, τῆς Θεοῦ δυνάμεως, ὡς ὑπάρχων Ῥωμανὲ θεοφόρε, τὰς τοῦ ἐχθροῦ, κατενίκησας πάγας, ταῖς ἀριστείαις ὁσίων ἀγώνων σου· δι᾽ ὧν ἐδόξασας τρανῶς· τοῦ Θεοῦ τὸ πανάγιον ὄνομα.

Ὀνείρατι, σοὶ παρέστη Ὅσιε, ἡ Ἁγνὴ καὶ παναμώμητος Κόρη, χάρτον κοντοῦ, ἐπιδοῦσα φαγεῖν σοι, δι᾽ οὗ ἐπλήσθης τοῦ θείου χαρίσματος· καὶ

ὕμνησας ξενοπρεπῶς, τὴν λοχείαν Αὐτῆς τὴν ἀπόῤῥητον.

*Θεοτοκίον.*

Νηδύϊ σου, ὁ Θεὸς ἐκάθισε, ὥσπερ Θρόνῳ ὑψηλῷ Παναγία, καὶ Χερουβίμ, ἀσυγκρίτως τιμίαν, καὶ Σεραφὶμ ὑπερένδοξον ἔδειξεν, μεθ᾽ ὧν δυσώπει ἐκτενῶς· τοῦ σωθῆναι ἡμᾶς τοὺς τιμῶντάς σε.

Ἀνάκρουε, ὡς ὁ Δαυῒδ τὴν κινύραν πάτερ πατέρων, καὶ ἀνάγαγε πρὸς Θεὸν ἡμᾶς μελῳδίαις σου, τοὺς σέβοντας μνήμην σου τὴν ἁγίαν.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα, μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β΄. Προστασία τῶν Χριστιανῶν.*

Φωταυγείᾳ τῇ τρισσοφεγγεῖ ἐλλαμπόμενος, καὶ εὐκλείᾳ τῇ Δεσποτικῇ σεμνυνόμενος, ἐξαστράπτεις πλέον χρυσοῦ θεόφρον Ῥωμανέ, διὸ πλούτισον ἡμῶν, τὸν νοῦν καὶ τὴν καρδίαν ἱερῶς, τοῦ βοᾶν ἐκ βαθέων σοι· χάριτος· χαίροις σκεῦος καὶ λύρα καλλιφωνοῦσα, τὰ μεγαλεῖα Θεοῦ, καὶ τὸ κάλλος τὸ ἀμήχανον.

Εἶτα τὸ α΄ ἀντίφωνον τῶν ἀναβαθμῶν τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Στίχ.: *Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ Ὅσιοι σου ἀγαλλιάσει ἀγαλλιάσονται.*

*Προσόμοιον. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.*

Πλοῦτον ἐναπέθηκας, τῇ τοῦ Χριστοῦ ἐκκλησίᾳ, Ῥωμανὲ θεσπέσιε, τὰ σεπτά σου λόγια καὶ γλυκύφθογγα· δι᾽ αὐτῶν ὕμνησας, ὡς Δαυῒδ τὸ πάλαι, μεγαλεῖα ὑπερκόσμια Ναῷ ἱστάμενος, καὶ διηνεκῶς προσευχόμενος, Παρθένου ἐκ Θεόπαιδος, τάλαντον οὐράνιον ἔλαβες, ταύτης μελῳδῆσαι, τὸν τόκον τὸν ἀπόῤῥητον σοφέ, ὃν καὶ ἡμᾶς καταξίωσον, ὑμνεῖν κατ᾽ ἀλήθειαν.

*ᾨδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Μυριώνυμον πλῆθος τῶν Ἁγίων ἁπάντων κατεστεφάνωσας, τοῖς ἄνθεσιν ᾀσμάτων, καὶ θείων Κοντακίων, Ῥωμανὲ μελῳδέστατε· μεθ᾽ ὧν προσάγεις Θεῷ, ᾠδὰς εἰς τοὺς αἰῶνας.

Ἐπιλάμψεων θείων, τὰς ἐμφάσεις ἐδέξω ἐν τῇ καρδίᾳ σου, καὶ γέγονας ἀξίως, Τριάδος Ἀρχιφώτου, Ῥωμανὲ θεῖον ἔσοπτρον· ἐναπαστράπτον ἡμῖν, τὴν δόξαν τὴν ἀγήρω.

Λίθος θεῖος ὑπάρχεις, Ῥωμανὲ τοῦ χρυσίου πολυτιμότερος, κοσμήσας θαυμασίως, Σιὼν τὴν ἄνω Πόλιν, ταῖς ἀκτῖσι χαρίτων σου ἣν κατοικῆσαι ἡμᾶς, ἀξίωσον εὐχαῖς σου.

*Θεοτοκίον.*

Παραδείσου τὰς πύλας, παραβάσει ἡ Εὔα ἃς ἐναπέκλεισε, διήνοιξας Παρθένε, ἀκούσασα προθύμως, Ἀρχαγγέλου τοῖς ῥήμασιν καὶ ἐδωρήσω βροτοῖς, ζωὴν τὴν αἰωνίαν.

*ᾨδὴ η΄. Τὸν Βασιλέα.*

Ὡς ἔαρ θεῖον, ὦ Ῥωμανὲ ἐπεφάνης, τῶν παθῶν τὸν χειμῶνα διώκων, καὶ πιστοῖς μηνύεις, τὴν θάλψιν εἰς αἰῶνας.

Ἱερουργήσας, Ἀρχιερεῖ αἰωνίῳ, Ῥωμανὲ ὡς Διάκονος Τούτου, ἄμεμπτον λατρείαν, προσνέμεις εἰς αἰῶνας.

Στολὴν ψυχῆς σου, ἐξωραΐσας ἐνθέως, ὑπὲρ ἥλιον πάτερ ἐκλάμπεις, Ῥωμανὲ καὶ πάντας, ἡμᾶς καταγλαΐζεις.

*Θεοτοκίον.*

Ἱερωτέρα, τῆς Κιβωτοῦ τῆς τοῦ νόμου, Παναγία παρθένε ὑπάρχεις, Νόμου γὰρ Δοτῆρα, ἐν σῇ γαστρὶ ἐδέξω.

*ᾨδὴ θ΄. Κυρίως Θεοτόκον.*

Δακτύλῳ Παρακλήτου, ἔγραψας θεόφρον, τὰς τῶν μελῶν σου ἁγίας, καὶ θείας ᾠδάς, ὦ Ῥωμανὲ καὶ εὐφραίνεις, πιστῶν συστήματα.

Ὡς τέττιξ χρυσοπτέρυξ, ᾄδεις ξενοτρόπως τῶν οὐρανίων τὰ κάλλη, σεπτὲ Ῥωμανέ, καὶ μελογράφων σεμνύνεις, χορὸν τὸν πάντιμον.

Ῥημάτων σου ἱστίῳ, ἔφθασας παμμάκαρ, ἐν τῷ ἀκλύστῳ λιμένι, τῆς Ὄντως ζωῆς, ὦ Ῥωμανὲ καὶ βραβεύεις, γαλήνην ἄσειστον.

Ἀνύστακτον τὸ ὄμμα, ἔχων τῆς ψυχῆς σου, τὸν Παντεπόπτην ἀπαύστως, ὁρᾷς Ῥωμανέ, ὃν ἐκδυσώπει φωτίσαι, ψυχῆς μου ὄμματα.

*Θεοτοκίον.*

Σειρὰς ἐμῶν πταισμάτων, λῦσον Θεοτόκε, ὡς σωματώσασα Λόγον, Χριστὸν τὸν Θεόν, τὸν τοῦ θανάτου τὸ κράτος θανάτῳ λύσαντα.

Ἄξιόν ἐστιν. Καὶ τὰ παρόντα μεγαλυνάρια ὧν ἡ ἀκροστιχίς· *«Χαίροις λύρα θεόφθογγε».*

Χαίροις τῶν ὁσίων ἡ καλλονή· χαίροις Διακόνων ἡ ἀτίμητος κορωνίς· χαίροις μελογράφων ὦ Ῥωμανὲ ἀκρότης, Χριστοῦ τῆς ἐκκλησίας, δόξα καὶ καύχημα.

Ἄστρον ἐξανέτειλας φαεινόν, ἐκ Συρίας πάτερ θεοδώρητε Ῥωμανέ, ηὔγασας δὲ θείως, τὴν πόλιν Κωνσταντίνου· ἀκτῖσι πολυφώτοις, σεπτῶν ᾀσμάτων σου.

Ἱλαρῷ σου ὄμματι ἐκτενῶς, ὡς ὁρῶν τὰ κάλλη τὰ ἀθέατα Ῥωμανέ, ἔπιδε εὐσπλάγχνως, ψυχῆς μου τῇ πενίᾳ· καὶ ταύτην σαῖς πρεσβείαις, ἐνθέως κάλλυνον.

Ῥόδον ὡς ἡδύπνοον Ῥωμανέ, θείου Παραδείσου ἀποπνέεις τὴν χαρμονήν, καὶ πληροῖς ἀφάτου, χαρᾶς καὶ εὐφροσύνης· καρδίας τῶν τιμώντων, μνήμην σου πάνσεπτον.

Ὅλην σου τὴν ἔφεσιν πρὸς Θεόν, κεκτημένος πάτερ θεοδίδακτε Ῥωμανέ, χείλεσι καρδίας Αὐτὸν ἐδοξολόγεις· καὶ πρόσωπον ἑώρας, Αὐτοῦ ἐράσμιον.

Ἵστασο ἱκέτης ὡς ταπεινός, ἔμπροσθεν εἰκόνος τῆς Θεόπαιδος Μαριάμ, ταύτης δὲ τὸν τόκον ὦ Ῥωμανὲ ἀνυμνεῖς· ᾠδαῖς παναρμονίαις, ὡς λύρα πάγχρυσος.

Στέφος τὰ ἀκήρατον καὶ λαμπρόν, ἐκ χειρὸς ἐδέξω ζωηφόρου ὦ Ῥωμανέ, καὶ ζωῆς ἀλήκτου, ἐξέπιες τὸ νᾶμα, ψυχὰς διὸ εὐφραίνεις, τῶν εὐφημούντων σε.

Λιγυρὰ καὶ εὔλαλος χελιδών, τοῦ Δεσπότου μέλπεις τὰ θαυμάσια Ῥωμανέ, καὶ πιστοῖς μηνύεις, τῆς χάριτος τὸ ἔαρ· καὶ πίστεως τὰ ἄνθη, τὰ πανευφρόσυνα.

Ὑψιπέτης ὄντως ὡς ἀετός, εἰς ὕψος ἀνήχθης θεωρίας τῆς ἀκραιφνοῦς, ἔνθα ἐνοπτρίζει, ὦ Ῥωμανὲ ἀπαύστως· Δεσπότου φιλανθρώπου, κάλλος ἀμήχανον.

Ῥείθροις τῶν ᾀσμάτων σου ἱεροῖς, ἤρδευσας πλουσίως τὰς καρδίας τῶν εὐσεβῶν, καὶ ποιεῖν παρέσχες, ὦ μελλορῆμον πάτερ, καρπὸν εἰς τὸν αἰῶνα, μένοντα ἄφθαρτον.

Ἄστρον ἐξανέτειλας φαεινόν, ἐκ Συρίας πάτερ θεαυγέστατε Ῥωμανέ, καὶ τῆς Ἐκκλησίας, τὸ πρόσωπον τὸ θεῖον, ἐφαίδρυνας ἀξίως, φωτὶ τῶν ὕμνῶν σου.

Θύων τῷ Κυρίῳ σου καὶ Θεῷ, λογικὴν θυσίαν ὡς Διάκονος ἱερός, αἴνεσιν προσῆγες, καὶ ἄμεμπτον λατρείαν, ὦ Ῥωμανὲ ὡς Λόγου, θεῖον ἀνάθημα.

Ἔλαφος ὡς ἄλλη ἐπὶ πηγάς, τοῦ Εὐαγγελίου ἐπεπόθησας Ῥωμανέ, ἔνθα τῆς ψυχῆς σου, κατέσβεσας τὴν δίψαν, καὶ χάριτος τὸν πλήρη, χειμάῤῥουν ἔπιες.

Ὄλβιον πλουτοῦμεν ὡς θησαυρόν, πληθὺν Κοντακίων καὶ ᾠδῶν σου θεοτερπῶν, ἅπερ εὐαρέστως,

ἐξύφανας τρισμάκαρ· ὢ Ῥωμανὲ καλάμῳ, θεοκινήτῳ σου.

Φίλος ὡς πιστότατος τοῦ Χριστοῦ, ἔμαθες Ἐκείνου τὰ οὐράνια μυστικά, ἅπερ ἐμελώδεις ὢ Ῥωμανὲ θεόπνους· ὡς νάβλα ἡ τιμία, καὶ ἐναρμόνιος.

Θέλημα τῶν δούλων αὐτοῦ ποιῶν, καὶ τῶν φοβουμένων τὰς αἰτήσεις πάσας πληρῶν, ἔδωκε Θεός σοι ,τὸ τάλαντον τὸ μέγα, ὢ Ῥωμανὲ δοξάζειν, Τούτου τὸ ὄνομα.

Ὄργανον κρουόμενον ταῖς χορδαῖς, ταῖς τοῦ Παρακλήτου ὢ θεόφθογγε Ῥωμανέ, ὡς ὑπάρχων τέρπεις, πιστῶν τὰς διανοίας, καὶ πάντας συνεγείρεις, πρὸς αἶνον ἄληκτον.

Γάνυται τῇ μνήμῃ σου Ῥωμανέ, Ἐμεσαίων δῆμος καὶ ἡ ἔνδοξος Βηρυτός, μέγα δὲ καυχᾶται, τῶν πόλεων ἡ Πόλις· ἐν ᾗ ἐφοίτας μάκαρ, πόθῳ τῷ κρείττονι.

Ἱερᾶς ὑμνηπόλων πέλεις ἀνδρῶν, σύσκηνος Ὁσίων καὶ Ἀγγέλων συλλειτουργός, πάντων τε Ἁγίων, συνέστιος τραπέζῃ, ὢ Ῥωμανὲ τῇ ἄνω, πατὴρ ἣν ἔθεσεν.

Ἔλλαμψιν παράσχου μοι θεουργόν, σκότος τὸ ζοφῶδες ἀπελαύνουσα τῶν παθῶν, φῶς τὸ τρελαμπές τε, καὶ ἄδυτον εὐχαῖς σου· ὢ Ῥωμανὲ ὡς λύχνος, ἀειλαμπέστατος.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί...

*Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου...*

Τὴν τοῦ Λόγου κιθάραν, καὶ κινύραν τοῦ Πνεύματος, οἶκον τὸν λαμπρὸν τῆς σοφίας, Διακόνων καλλώπισμα· ἐν μέλεσιν ἐνθέοις Ῥωμανόν, τιμήσωμεν πιστοὶ τὸν Μελῳδόν, καὶ αὐτὸν ἀπὸ βαθέων χρεωστικούς, ὑμνοῦντες ἀναμέλψωμεν· χαίροις τῶν μελογράφων ὁ κανών· χαίροις φωτὸς ὁ πρόβολος· χαίροις τῆς Θεοτόκου καὶ Ἁγνῆς, μύστης θειότατος.

*Ἐκτενὴς καὶ Ἀπόλυσις. Πρὸ τοῦ Δι᾽ εὐχῶν· τὸ ἀκόλουθον. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

Χεῖλη θεοκίνητα πλουτῶν, ᾔνεσας Θεοῦ μεγαλεῖα, καὶ θαυμασίων πληθύν, θείοις Κοντακίοις σου, σεπτοῖς τε ᾄσμασι, ὅθεν χαίροις κραυγάζομεν, Χριστοῦ ἡ κιθάρα· χαίροις ἱερώτατος Πνεύματος κάλαμος· σκεῦος ὑπερτίμων χαρίτων· χαίροις Ῥωμανὲ μελοῤῥῆμον, οὐρανοῦ τὴν δόξαν διηγούμενος.

